μέρη ἐστίν· ἅπερ ὅλος
ὁ ΘΗ ὅλου τοῦ ΔΓ· ἴ-
σος δὲ ὁ συναμφότε-
ρος μὲν ὁ ΑΚ ΚΘ τῷ
ΕΒ· ὁ δὲ ΘΗ τῷ ΒΔ·
καὶ λοιπὸς ἄρα ὁ ΕΒ
λοιποῦ τοῦ ΖΔ τὰ
αὐτὰ μέρη ἐστὶν ἅ-
περ ὅλος ὁ ΑΒ ὅλου
τοῦ ΓΔ· ὅπερ ἔδει
δεῖξαι:—

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου
τὸ αὐτὸ μέρος· καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ἢ μέρη ὁ
πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἔσται ἢ τὰ αὐτὰ
μέρη καὶ ὁ δεύτερος τοῦ τετάρτου· ἀριθμὸς γὰρ ὁ Α
ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω· καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ
ΕΖ τὸ αὐτὸ μέρος ὅπερ ὁ Α τοῦ ΒΓ· ἐλάττων δὲ
ἔστω ὁ Α τοῦ Δ· λέγω ὅτι καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν
ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ
ἢ μέρη· ἐπεὶ γὰρ ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐ-
τὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ· ὅσοι ἄρα εἰσὶν ἐν τῷ
ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοι εἰσὶ καὶ ἐν τῷ ΕΖ
ἴσοι τῷ Δ· διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους
τοὺς ΒΗ ΗΓ· ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ
ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ ΗΓ τῷ
πλήθει τῶν ΕΘ ΘΖ· καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΗ ΗΓ

ἀριθμοὶ ἀλλήλοις· εἰσὶ δὲ καὶ οἱ ΕΘ ΘΖ ἀριθμοὶ ἴσοι ἀλ-
λήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ ΗΓ τῷ
πλήθει τῶν ΕΘ ΘΖ· ὃ ἄρα μέρος ἐστὶν ὁ ΒΗ τοῦ
ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΓ τοῦ ΘΖ ἢ τὰ
αὐτὰ μέρη· ὥστε καὶ ὃ μέρος
ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐ-
τὸ μέρος ἐστὶ καὶ συναμφότε-
ρος ὁ ΒΓ συναμφοτέρου τοῦ
ΕΖ ἢ τὰ αὐτὰ μέρη· ἴσος δὲ
ὁ μὲν ΒΗ τῷ Α· ὁ δὲ ΕΘ τῷ Δ·
ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Δ
ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ
ὁ ΒΓ τοῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη.
ὅπερ ἔδει δεῖξαι:—

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ
αὐτὰ μέρη· καὶ ἐναλλὰξ ἃ μέρη ἐστὶν ὁ πρῶτος
τοῦ τρίτου ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται καὶ ὁ δεύ-
τερος τοῦ τετάρτου ἢ τὸ αὐτὸ μέρος· ἀριθμὸς
γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω· καὶ ἕτερος ὁ ΔΕ
ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη· ἐλάττων δὲ ἔστω ὁ
ΑΒ τοῦ ΔΕ· λέγω ὅτι καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ
ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ
ἢ τὸ αὐτὸ μέρος· ἐπεὶ γὰρ ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ,
τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔΕ τοῦ Ζ· ὅσα ἄρα ἐστὶν ἐν
τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ μέρη
τοῦ Ζ· διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ